Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontificis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 107



μέθυσος φωραθῇς. Ὥσπερ μανιάκιον χρυσοῦν ἐπὶ τραχήλῳ ἀνδρὸς, οὕτω πρέπει μοναχῷ ἡ εὐλάβεια. Ὥσπερ μέλι γλυκάζον ἐν στόματι ἀνθρώπου, οὕτω θεῖοι λόγοι ἐν ψυχῇ φοβουμένου τὸν Κύριον. Σοφοὶ γέροντες, στήριγμα ἀδελφῶν· οἱ δὲ ἄσοφοι μάχιμοι ἔσονται. Μισητὴ παρὰ Θεῷ καὶ ἀνθρώποις ἡ ὑπερηφανία· τοὺς δὲ ἀγαπῶντας τὴν ταπείνωσιν ἀνυψοῖ ὁ Κύριος. Λιμὴν εὔδιός ἐστιν εὐκανόνιστος τόπος· οἷς δὲ μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα. Ὅτι δεῖ τὸν ὑπηρετοῦντα ὑπηρετεῖν ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, παρ' οὗ καὶ τὸν μισθὸν ἀπολήψεται· ὅτι δεῖ τὸν ὑπηρετούμενον ταπεινοφρόνως φέρειν, ὡς ὑπὸ Κυρίου ὑπηρετούμενον. Ἔφαγες ἄρτον καὶ ἐνεπλήσθης; δὸς δόξαν τῷ χορτάσαντί σε Θεῷ. Εἰ δὲ παρὰ μικρὸν τῆς κοιλίας σου βούλει μεῖναι, δὸς δόξαν τῷ ἐνισχύσαντί σε Θεῷ, καὶ μὴ λέγε ἐνώπιον πάντων, εἰ μὴ τηλικοῦτον ἄρτον οὐκ ἔφαγον. Τί οὖν ἀποδίδως σεαυτῷ; ἢ τοὺς ἐσθίοντας καὶ εὐχαριστοῦντας κατακρίνεις; Ὑπόμεινον τὸν Κύριον ἐν ἡμέρᾳ θλίψεως, ὅπως σκεπάσῃ σε ἐν ἡμέρᾳ ὀργῆς. Μὴ γέλα ἐπὶ θλιβομένῳ, μηδὲ χαῖρε ἐπὶ διαστρεφομένῳ, μήποτε ὀργισθῇ σοι ὁ Κύριος, καὶ οὐ μὴ εὕρῃς ἀντίληψιν ἐν ἡμέρᾳ θλίψεως. Μὴ καταδίωκε ἀδελφοὺς χάριν φιλαρχίας· ἐὰν γὰρ μὴ ᾖ ἐκ Θεοῦ ἡ βουλὴ αὕτη, οὐ σταθήσεται. ἐὰν ἐκ Θεοῦ ἐστι, κἂν κρυβήσῃ εἰς τὰ σκεύη, καθάπερ Σαοὺλ, ἐκεῖθεν λήψεταί σε Κύριος, καὶ καταστήσει σε ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ. Τίς μὴ στενάξει ἐπὶ τούτοις; ὅτι οὔπω μίαν ἀρετὴν ἐνδειξάμενοι τοῦ μοναδικοῦ βίου, ἀρχὰς διώκομεν; Πόθεν οὖν ἡμεῖς καὶ ἐπὶ ξηρᾶς ὄντες ναυαγοῦμεν συνεχῶς; οὐχὶ ἀπὸ ἀπειθίας καὶ ἀπαιδευσίας; κωπηλατεῖν γὰρ μὴ ἐπιστάμενοι, κυβερνᾷν ἐπιχειροῦμεν. Τίς πονηρότερος τοῦ ἔχοντος ὕδωρ γλυκὺ, καὶ μὴ ποτίζοντος ψυχὴν διψῶσαν; ἢ τίς φθονερώτερος τοῦ ἔχοντος βιβλίον ὠφέλιμον, καὶ μὴ μεταδιδόντος τῷ ἀδελφῷ πρὸς οἰκοδομήν; Τίς δὲ ὀκνηρότερος τοῦ διψῶντος, καθημένου δὲ πλησίον πηγῆς, καὶ τὰς χεῖρας μὴ ἐκτείνοντος, ὅπως λαβὼν ὕδωρ, παύσῃ τὴν δίψαν; ἢ τίς ἀμελέστερος τοῦ κεχρημένου βιβλίον, καὶ τῆς ἀναγνώσεως ἀμελοῦντος; Συγκοπίασον τῷ ἐπιδεομένῳ μαθεῖν γράμματα, ὅπως ἀναγινώσκων τὰ θαυμάσια τοῦ Θεοῦ, εὐλογῇ τὸ θαυμαστὸν ὄνομα, καὶ αὐτὸς ἔσται σοι μισθαποδότης. Ἀκηδιαστῇ μοναχῷ ἡ ὀλιγωρία ἀντίσταται. κατὰ δὲ τοῦ ἔχοντος ὑπομονὴν ἡ ὑψηλοφροσύνη· ὁ δὲ ἀγαπῶν τὸν Κύριον ἐν ἀληθείᾳ, παραιτεῖται τὰ ἀμφότερα. Μοναχὸς ὀκνηρὸς πολλὰ ζημιωθήσεται· ὁ δὲ νήφων οὐδὲ μιᾶς ὥρας κατα-



A ductus fueris. Quemadmodum torques aureus in collo viri, sic monachum decet pietas atque religio. Quemadmodum mel dulcescens in ore viri, ita divini sermones in anima timente Dominum. Senes sapientes firmamentum sunt fratrum: at insipientes, contentiosi erunt. Coram Deo & hominibus exosa est superbia: eos vero, qui humilitatem amant, exaltat Dominus. Portus serenus ac tranquillus est locus bonis regulis directus: quibus autem deest gubernatio, ut B folia decidunt. Oportet ministrum obsequi & servire ei, cui ministrat, sicut Domino, & non hominibus: a quo etiam mercedem accipiet: eumque, cui ministratur, humiliter ferre oportet, tamquam si ei a Domino ministraretur. Comedisti panem, & repletus es? Da gloriam ei, qui te saturavit, Deo. Si vero paulisper exspectare ventrem velis, etiam da gloriam ei, qui te confortavit, C Deo: & ne dixeris coram omnibus: non comedi, nisi tantillum panis. Quid igitur arrogas tibi ipsi? vel eos qui comedunt & gratias agunt, condemnas? Sustine Dominum in die tribulationis, ut te protegat in die iræ. Non rideas super afflicto; neque gaudeas de perverso; ne forte irascatur tibi Dominus, & non invenias protectionem in die tribulationis. Ne fratres persequaris causa ambitionis: nam nisi ex Deo sit consilium istud, non subD sistet. At si ex Deo est, etiamsi in vasis occultatus fueris, sicut Saul, inde te assumet Dominus, & ducem atque præfectum te constituet in populo suo. Quis non ingemiscat super hisce? quippe qui cum ne unam quidem adhuc solitariæ vitæ virtutem demonstrare possimus, præfecturas sectamur. Quare & nos etiam in continenti constituti, naufragium confestim patimur. Et hoc nonne ex inobedientia nostra atque insolentia? Remigare enim antequam E sciamus, gubernare tentamus. Quis deterior eo, qui cum aquam dulcem habeat, animam sitientem non potat? aut quis invidentior eo, qui cum librum utilem teneat, fratri suo ad ædificationem commodare eum recusat? Quis porro segnior eo, qui cum sitibundus prope fontem sedeat, manus tamen non extendit, ut sumta aqua sitim restinguat? aut quis negligentior eo, qui librum utendum accepit, & legere illum omittit. Adjuva illum qui roF gat, ut discat literas; legensque magnalia Dei, benedicat ac laudet admirabile nomen ejus, & ipse tibi mercedis erit retributor. Segni ac pigro monacho negligentia obsistit: habenti autem patientiam, superbia repugnat. At qui in veritate amat Dominum, utrumque repudiat. Monachus piger multa patietur damna: at qui sobrius est & vigilans, nullam horam contemnet. Monachus piger & con-

1. Reg. 10.



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0355
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg